Ἀλλ᾽ ὡς μάλιστα τοῖν ποδοῖν ἐπικτυποῦσα βάδιζε.
Ὑμῖν δ᾽ αἰσχύνην φέροι
Πάσαισι, παρὰ τοῖς ἀνδράσι τὸ πρᾶγμα τοῦτ᾽ ἐλεγχθέν.
Πρὸς ταῦτα συστέλλου σεαυτήν.
Καὶ περισκοπουμένη κἀκεῖσε καὶ τἀκ δεξιᾶς,
Μὴ ξυμφορὰ γενήσεται τὸ πρᾶγμα.
Ἀλλ᾽ ἐγκονῶμεν. τοῦ τόπου γὰρ ἐγγύς ἐσμεν ἤδη,
Ὅθεν περ εἰς ἐκκλησίαν ὡρμώμεθ᾽ ἡνίκ᾽ ἦμεν.
Τὴν δ᾽ οἰκίαν ἔξεσθ᾽ ὁρᾶν ὅθεν περ ἡ στρατηγὸς
Ἔσθ᾽ ἡ τὸ πρᾶγμ᾽ εὑροῦσ᾽ ὃ νῦν ἔδοξε τοῖς πολίταις.
Ὡς εἰκὸς ἡμᾶς μὴ βραδύνειν ἔτ᾽ ἐπαναμενούσας.
Πώγωνας ἐξηρτημένας. μὴ καί τις ὄψεθ᾽ ἡμᾶς,
Χ᾽ ἡμῶν ἴσως κατείπῃ. ἀλλ᾽ εἶα δεῦρ᾽ ἐπὶ σκιᾶς,
Ἐλθοῦσα πρὸς τὸ τειχίον παραβλέπουσα θατέρῳ
Πάλιν μετασκεύαζε σαυτὴν αὖθις ἥπερ ἦσθα.
Καὶ μὴ βράδυν᾽. ὡς τήνδε καὶ δὴ τὴν στρατηγὸν ἡμῶν
Χωροῦσαν ἐξ ἐκκλησίας ὁρῶμεν. ἀλλ᾽ ἐπείγου
Ἅπασα, καὶ μίσει σάκον πρὸς ταῖν γνάθοιν ἔχουσα.
Χ᾽ αὗται γὰρ ἥκουσι πάλαι τὸ σχῆμα τοῦτ᾽ ἔχουσαι.
Πρ. Ταυτὶ μὲν ἡμῖν ὦ γυναῖκες εὐτυχῶς
Τὰ πράγματ᾽ ἐκβέβηκεν, ἁ᾽βουλεύσαμεν.
Ἀλλ᾽ ὡς τάχιστα πρίν τιν᾽ ἀνθρώπων ἰδεῖν
Ῥιπτεῖτε χλαίνας, ἐμβὰς ἐκποδὼν ἴτω.
Χάλα συναπτοὺς ἡνίας Λακωνικάς.
Βακτηρίας ἄφεσθε. καὶ μέντοι σὺ μὲν
Ταύτας κατευτρέπιζ᾽, ἐγὼ δὲ βούλομαι
Εἴσω παρερπύσασα πρὶν τὸν ἄνδρα με
Ἰδεῖν, καταθέσθαι θοἰμάτιον αὐτοῦ πάλιν,
Ὅθεν περ ἔλαβον, τ᾽ ἄλλα θ᾽ ἁξηνεγκάμην.
Χο. Κεῖται δὴ πάνθ᾽ ἅπερ εἶπας, σὸν δ᾽ ἔργον τἄλλα διδάσκειν
Ὅτι σοι δρῶσαι ξύμφορον ἡμεῖς δόξομεν, ὀρθῶς ἐπακούειν,
Οὐδεμιᾷ γὰρ δεινοτέρᾳ σου ξυμμίξασ᾽ οἶδα γυναικί.
Πρ. Περιμείνατε νῦν ἵνα τῆς ἀρχῆς ἣν ἄρτι κεχειροτόνημαι
Ξυμβούλοισιν ἁπάσαις ὑμῖν χρήσωμαι. καὶ γὰρ ἐκεῖ μοι
Ἐν τῷ θορύβῳ καὶ τοῖς δεινοῖς ἀνδρειόταται γεγένησθε.

A Sed quàm maximè pedibus sonans vade,
Nobis autem pudorem ferat
Omnibus, apud viros res hæc dicta.
Ad hæc contrahe te ipsam,
Et circum aspiciens & illinc, & quæ in dextera,
Ne ærumna fiat res.
Sed festinemus, locum enim prope sumus iam,
Vnde ad concilium ruimus, quando ibamus.
B Hanc domum licitum est videre, vnde hæc dux
Est, rem inueniens quæ nunc apparuit ciuibus.
Quare decens, nos non tardare expectantes,
Barbas aptatas, ne aliquis videat nos,
Et nobis fortè inuehat. Sed eia huc in vmbra
Veniens ad murum perspiciens altero,
C Rursus reordinate ipsam iterum, vbi eras,
Et non tarda, quòd hanc & iam ducem nostrum
Procedentem ex concilio videmus. sed festina
Omnis, & odio habe barbam ad maxillas habens,
Et hæ enim veniunt diu habitum hunc habentes.
D PRA. Hæ quidem nobis ô mulieres, fortunatè
Res euenerunt, quæ consultabamus.
Sed quàm citissimè ante aliquem hominum videre
Iacite vestes, calceamentum longè eat.
Deponite colligata ligamenta Laconica,
Baculos dimittite: & tamen tu quidem
Has ordina, ego autem volo
Intro serpens ante virum me
E Videre, deponere pallium illic iterum
Vnde accepi, aliaq; quæ comportauimus.
CHO. Parata sunt iā omnia, quæ dixisti. tuum autem opus omnia docere,
Quod tibi facere conferens nobis apparuit rectè audire.
Nulla enim grauiora mixta scio mulieri.
F PRA. Expectate nūc, vt impÿ quòd nuper comprobaui,
Consultricibus omnibus vobis vtar: etenim illic mihi
In turba & grauibus virilissimæ factæ estis.

Σχόλια. Παραβλέπουσα] ἀτενίζουσά φησιν. ἀλλὰ τῷ ἑτέρῳ ὀφθαλμῷ βλέπουσα. Σάκον.] τὸν πώγωνα λέγει. Συναπτούς.] τοὺς συναπτοὺς δεσμοὺς τῶν ὑποδημάτων. Παρερπύσασα.] ἠρέμα εἰσελθοῦσα.

G

## ΒΛΕΠΥΡΟΣ, ΠΡΑΞΑΓΟΡΑ.

## BLEPYRVS, PRAXAGORA.

Bisetvs. Ὁ Βλέπυρος τῇ γυναικὶ ἐντυχών, πυνθάνεται πόθεν ἔρχεται, καὶ ἐξ ὅτι τὰς ἑαυτοῦ ἐσθῆτας λαβοῦσα ἀπῴχετο. Τέλος δὲ πολλῶν λόγων ἀμφοτέρωθεν εἰρημένων ὁ Βλέπυρος αὐτῇ διηγεῖται ἃ περὶ τῶν ἐν τῇ ἐκκλησίᾳ πραχθέντων ἐκ τοῦ Χρέμητος ἤκουσε.